καὶ ἐπαίρουσιν τὰν χρ̄ν ἐν ποδοῖν τῶν διδόντων χρ̄ι ἐκ τοῦ τ̄ῦ χρ̄ι

ἐστήκατε δὲ καὶ παρακαλοῦμεν ὑμᾶς ἀδελφοί τὸν λόγον τῆς πίστεως

γνῶτε γὰρ καὶ μηδὲν ἀσθενήσωμεν ἐν τῇ σήμερον ταρταῖς

ἡμέραις ἐπεὶ γὰρ τοῦτο βεβαιοῦμεν καὶ γὰρ

ὅτι μέλλομεν θλίβεσθαι καθὼς ἐγένετο καὶ οἴδατε

καὶ μηκέτι στέγοντες ἐπέμψα εἰς

τὸ γνῶναι τὴν πίστιν ὑμῶν μή πως ἐπείρασεν ὑμᾶς

ὁ πειράζων καὶ εἰς κενὸν γένηται ὁ κόπος ἡμῶν

ἄρτι δὲ ἐλθόντος τιμοθέου πρὸς ἡμᾶς ἀφ' ὑμῶν

καὶ εὐαγγελισαμένου ἡμῖν τὴν πίστιν καὶ τὴν ἀγά-

πην ὑμῶν καὶ ὅτι μνείαν ἔχετε ἡμῶν ἀγαθὴν

πάντοτε ἐπιποθοῦντες ἡμᾶς ἰδεῖν καθάπερ καὶ

ἡμεῖς ὑμᾶς διὰ τοῦτο παρεκλήθημεν ἀδελφοί ἐφ'

ὑμῖν ἐν πάσῃ τῇ ἀνάγκῃ καὶ θλίψει ἡμῶν διὰ τῆς

ὑμῶν πίστεως ὅτι νῦν ζῶμεν ἐὰν ὑμεῖς στή-

κετε ἐν κῷ τίνα γὰρ εὐχαριστίαν δυνάμεθα

τῷ κῷ ἀνταποδοῦναι περὶ ὑμῶν ἐπὶ πάσῃ τῇ χα-

ρᾷ ᾗ χαίρομεν δι' ὑμᾶς ἐμπροσθεν τοῦ θ̄υ ἡμῶν

νύκτος καὶ ἡμέρας ὑπερεκπερισσοῦ δεόμενοι

εἰς τὸ ἰδεῖν ὑμῶν τὸ πρόσωπον καὶ καταρτί-

σαι τὰ ὑστερήματα τῆς πίστεως ὑμῶν αὐτὸς

δὲ ὁ θ̄ς καὶ πατὴρ ἡμῶν καὶ ὁ κ̄ς ἡμῶν καὶ ὁ κ̄ς ἡμῶν ἰ̄ς χ̄ς

κατευθύναι τὴν ὁδὸν ἡμῶν πρὸς ὑμᾶς